Ὁμοῦ δὲ περὶ τῆς τῶν καλλίστων ἕξεων συναφῆς ὁμνύων θεολογεῖ, καὶ τὴν τετράδα, πηγὴν τῆς ἀϊδίου διακοσμήσεως, ἀποφαίνεται τὴν αὐτὴν οὖσαν τῷ δημιουργῷ Θεῷ. Πῶς δὲ τετρὰς ὁ θεός; οὕτως ἐκ τοῦ εἰς Πυθαγόραν ἀναφερομένου Ἱεροῦ Λόγου σαφῶς εὑρήσεις, ἐν ᾧ ἀριθμὸς ἀριθμῶν ὁ θεὸς ὑμνεῖται. Εἰ γὰρ τὰ ὄντα πάντα ταῖς ἀϊδίοις αὐτοῦ βουλήσεσιν ὑφέστηκε, δῆλον ὅτι καὶ ὁ ἀριθμὸς ὁ ἐν ἑκάστῳ εἴδει τῶν ὄντων τῆς ἐκείνων αἰτίας ἤρτηται, καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ πού ἐστιν· ἐκεῖθεν γὰρ ἐνταῦθα. Τοῦ δὲ ἀριθμοῦ τὸ πεπερασμένον διάστημα ἡ δεκάς. Ὁ γὰρ ἐπὶ πλέον ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἕν, καὶ δύο, καὶ τρία· καὶ δευτέραν ἀριθμεῖ δεκάδα πρὸς τὴν τῆς εἰκοσάδος σύμπλήρωσιν· καὶ τρίτην ὁμοίως, ἵνα

αὐτὸν] M. et Curt; καὶ τὸν αὐτὸν G, sed superscriptum νὴ τὸν αὐτὸν legitur. — 3. πῶς δὲ τετρὰς ὁ θεός; οὕτως ἐκ —] Cod. Med; quae inserta ab Ashtono interrogandi nota vera videtur esse scriptura. Ait Hierocles τὴν τετράδα τὴν αὐτὴν εἶναι τῷ θεῷ. Quamobrem quaerat aliquis quo modo fiat, ut τετρὰς sit deus. Cui quaestioni ille sic respondet οὕτως ἐκ τοῦ — ἱεροῦ λόγου εὑρήσεις. Etenim Jamblichus in vita Pythagorae memoriae prodit, illum in libro περὶ θεῶν quem ἱερὸν λόγον inscripsit τὴν κατ' ἀριθμὸν θεολογίαν tradidisse. Ex quo libro haec ejus verba profert (p. 123 ed. Kuster.) quae ad hunc locum illustrandum imprimis faciunt: ἔφα τὰν ἀριθμῶ οὐσίαν αἴδιον εἶναι ἀρχὰν προμαθεστάταν τῶ παντὸς ὠρανῶ καὶ γᾶς καὶ τᾶς μεταξὺ φύσιος· ἔτι δὲ καὶ θεῶν καὶ δαιμόνων διαμονᾶς ῥίζαν. Curterius edidit: πῶς δὲ τετρὰς ὁ θεός, οὕτως ἐκ —, in margine autem posuit αὐτός, quod non caret commodo sensu longeqne praestat conjecturae Bentlejanae, quam Needhamius et hic probavit πῶς δὲ τετρὰς ὁ θεὸς νοητός, ἐκ — et paulo post ἀριθμός ἀριθμῶν ὁ θεὸς νοητὸς ὑμνεῖται pro ἀριθμῶν ὁ θεὸς [θεὸς ὄντως M 1. 2; θεὸς οὗτος G. θ. οὕτως SMh.] ὑμνεῖται. Cf. p. 170. Sed nulla opus est mutatione. — 6. ταῖς ἀϊδίοις] MG; vulgo ταῖς ἀϊδίαις. — 7. ὁ ἐν ἑκάστῳ — τῆς ἐκείνων] ὁ sumpsimus e Cod. Med et S; ἐκείνων e codd. quibusdam Gall. a Curterio collatis et S. Scriptor autem ἐκείνων intelligit τῶν ὄντων, quod utique melius est quam ἐν ἐκείνῳ i. e. εἴδει, quod Needhamius e codd. Gall. VM 1. 2. et Aurispae interpretatione, ubi legitur: *a Deo numeri dependeant oportet* inseruit. Cum Deus, inquit, eorum omnium quae sunt causa sit, planum est τὸν ἀριθμὸν qui in unaquaque τῶν ὄντων specie est ex ἐκείνων (τῶν ὄντων) causa h. e. e Deo pendere: siquidem rerum quae sunt et numerorum qui rebus inhaerent eandem esse causam oportet. Itaque deus jure dicitur ἀριθμὸς ἀριθμῶν, quum sit πρῶτος ἀριθμός ab eoque caeteri omnes oriantur. — 8. ἐκεῖ πού ἐστιν· ἐκεῖθεν γὰρ ἐνταῦθα] Cod. Med et S; vulgo ἐκεῖ· ἐκεῖθεν γὰρ καὶ ἐνταῦθα. — 10. πλέον] G. et Curt; πλεῖον M. — 11. δύο] scripsi; δύω v. — 12. εἰκοσάδος] Codd; N. et A. posuerunt εἰκάδος. Quod etsi usitatius est, tamen codd. scripturam servandam esse patet. Sic Sextus Empir. adv. astrol. IV, 32

Digitized by Google Original from CORNELL UNIVERSITY

τριάκοντα εἴπῃ· καὶ τοῦτο ἑξῆς, ἕως ἂν δεκάτην ἀριθμήσας δεκάδα εἰς ἑκατὸν προέλθῃ. Καὶ πάλιν ἑκατὸν δέκα τὸν αὐτὸν τρόπον ἀριθμεῖ. Καὶ οὕτω μέχρις ἀπείρου τῷ τῆς δεκάδος διαστήματι ἀνακυκλουμένῳ προχωρεῖν δύναται. Τῆς δὲ δεκάδος δύναμις ἡ τετράς. Πρὸ γὰρ τῆς κατὰ διέξοδον τελειότητος τῆς ἐν τῇ δεκάδι, ἡνωμένη τις τελειότης ἐν τῇ τετράδι θεωρεῖται. Κατὰ γὰρ σύνθεσιν τὴν ἀπὸ μονάδος ἕως τετράδος, δεκὰς τὸ πᾶν ἄθροισμα γίνεται. Α′ γὰρ, καὶ β′, καὶ γ′, καὶ δ′, τὴν δεκάδα πληροῖ. Καὶ ἔστι μεσότης ἀριθμητικὴ μονάδος καὶ
pag. 168. ἑβδομάδος ἡ τετράς. Τῷ ἴσῳ γὰρ ἀριθμῷ πως ὑπερέχει, καὶ ὑπερέχεται, τριάδι μὲν ἑβδομάδος λειπομένη, τριάδι δὲ μονάδα ὑπερβάλλουσα. Μονάδος γὰρ καὶ ἑβδομάδος τὰ ἰδιώματα κάλλιστά εἰσι καὶ ἄριστα. Ἡ μὲν γὰρ μονάς, ὡς ἀρχὴ παντὸς ἀριθμοῦ, τὰς πάντων δυνάμεις ἐν ἑαυτῇ συνέχει· ἡ δὲ ἑβδομάς, ὡς ἀμήτωρ καὶ παρθένος, τὴν τῆς μονάδος ἀξίαν δευτέρως ἔχει. Οὔτε γὰρ γεννᾶται ἐξ ἀριθμοῦ τινος τῶν ἐντὸς δεκάδος· ὡς ὁ δ′ ἐκ τοῦ δὶς β′, καὶ ὁ ἓξ ἐκ τοῦ δὶς γ′, καὶ ὁ η′ ἐκ τοῦ δὶς δ, καὶ ὁ θ′ ἐκ τοῦ τρὶς γ′, καὶ ὁ ι′ ἐκ τοῦ δὶς ε′. Οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος· ὡς ὁ δύο τὸν τέσσαρα, καὶ ὁ γ′ τὸν ἓξ καὶ τὸν θ′, καὶ ὁ ε′ τὸν ι′. Τῆς δὲ ἀγεννή-

p. 337, 18: ἀκολουθήσει γὰρ τῇ τῆς μονάδος προςθέσει τὴν δεκάδα εἰκοσάδα γίνεσθαι. Lucian. Alex. c. 11 πένθ᾽ ἑτέρας μονάδας καὶ εἰκοσάδα τριςάριθμον. — 2. προέλθῃ] v; προέλθοι H. — 2. ἑκατὸν] G. et Curt; ἑκατὸν καὶ δέκα M. ἑκατὸν δέκα S. — 3. διαστήματι] v; διάστημα S. — 4. προχωρεῖν] G. et Curt; προςχωρεῖν M. — 5. δύναμις] G. et Curt; ἡ δύναμις M. — 5. πρὸ γὰρ τῆς] Ipl. G. et A: ***ante enim;*** Curter. πρὸ τῆς. Vulgo inepte πρὸς γὰρ τῆς — τελειότητος. ἡ γὰρ S; ἡ γὰρ τ. δεκάδος κατὰ διεξ. τελειότης ἐν τετράδι θεωρεῖται M. 2. — 6. τῆς ἐν τῇ δεκάδι] G. et Curt; τῆς δεκάδος M qui et τελειότης pro τελειότητος habet verbis inde a τῆς usque ad τελειότης ἐν [ut in S] omissis. — 7. τὴν ἀπὸ μονάδος] GM. et A: ***nam secundum compositionem a monade.*** Vulgo καὶ ἴσῳ omisso πως. — 8. α′-β′-γ′-δ′] v; ἓν — δύο — τρία — τέσσαρα S. — 10. τῷ ἴσῳ γὰρ ἀριθμῷ πῶς ὑπερέχει] GM et A: ***aequaliter enim superat et superatur.*** Vulgo καὶ ἴσῳ omisso πως. — 11. μονάδα] G; μονάδος M. — 12. τὰ ἰδιώματα] Cod. Med; deest τὰ in caeteris. — 14. ἀριθμ.] v; τοῦ ἀριθμ. S. — 14. ἑαυτῇ G. et Curt; ἑκάστῳ M 1. 2. — 17. ὡς ὁ δ′] Cod. Med. recte; vulgo ὡς καὶ ὁ δ′. — 18. τρὶς γ′ — ἐντὸς δεκάδος] Corr. N. ex A: ***novem ex ter tribus — intra decem.*** Caeterum ἐντὸς quod jam Curterius conjecerat legitur etiam in MG. Vulg. ἐκ τοῦ γ′ — ἐκτὸς δεκάδος. — 20. τὸν ἓξ καὶ] N. haec adjecit ex A: ***et tria sex et novem;*** vulgo desunt ut in S. Rectius autem vertuntur: ***ternarius senarium et novenarium.*** — 20. τῆς δὲ] v; τῆς δὴ S.

Digitized by Google

Original from
CORNELL UNIVERSITY

του μονάδος καὶ τῆς ἀμήτορος ἑβδομάδος ἡ τετρὰς μέση κειμένη, τὰς τῶν γεννώντων καὶ γεννωμένων δυνάμεις ἅμα καὶ συνείληφε καὶ συνέχει, μόνη τῶν ἐντὸς δεκάδος καὶ γεννωμένη ὑπό τινος ἀριθμοῦ, καὶ γεννῶσά τινα. Ἡ γὰρ δυὰς ἑαυτὴν διπλασιάσασα τὴν τετράδα γεννᾷ· ἡ δὲ τετρὰς δὶς γενομένη τὸν ὀκτὼ ἀποτελεῖ. Καὶ στερεοῦ πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται. Τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι, ἡ δὲ γραμμὴ δυάδι, ἀπό τινος γὰρ ἐπί τι· καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια, στοιχειωδέστατον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον. Τὸ στερεὸν δὲ οἰκεῖον τῇ τετράδι. Ἡ γὰρ πρώτη πυραμὶς ἐν τῇ τετράδι θεωρεῖται· τριγώνου μὲν βάσεως ὑποτεθείσης, τοῦ τρία· κορυφῆς δὲ αὐτῇ ἐπιτεθείσης, τοῦ ἑνός. Καὶ κριτικαὶ δὲ δυνάμεις ἐν τοῖς οὖσι τέσσαρες, νοῦς, ἐπιστήμη, δόξα καὶ αἴσθησις. Κρίνεται γὰρ πάντα τὰ ὄντα ἢ νῷ, ἢ ἐπιστήμῃ, ἢ δόξῃ, ἢ αἰσθήσει. Καὶ ἁπλῶς, τὰ ὄντα πάντα ἡ τετρὰς ἀνεδήσατο, στοιχείων ἀριθμόν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν.

2. γεννώντων καὶ γεννωμένων] v; γεννόντων καὶ γεννομένων S. — 2. ἅμα καὶ συνείληφε καὶ συνέχει] MCh; vulgo ἅμα συνείληφε. S. ἅμα καὶ σ. — 4. ὑπὸ] MG; ἀπὸ Curt. — 5. δὶς γενομένη] Ipl. G. et A: *quaternarius vero duplicatus octonarium conficit.* Vulgo δύο γεν. — 6. στερεοῦ] Cod. Med. S et Ipl. G ubi in textu est στεραιά; reliqui στερεά. Sed infra quoque scriptor τὸ στερεόν. Similiter Philo περὶ κοσμοπ., πρώτη τετρὰς τὴν τοῦ στερεοῦ φύσιν ἔδειξε. — 6. ἔμφασις] M. et Curt; ἔμφρασις G. — 9. στερεὸν] M. et Curt; στεραιὸν (ε superscr.) G. — 10. τῇ] G. et Curt; om. MS. — 11. μὲν] Curt; δὲ in G superscriptum; om. M. — 11. ὑποτεθείσης] Cod. M; vulg. ἀποτεθείσης. — 12. τρία] Curt. et G; ἐννέα M. om. S cum τοῦ. — 12. κορυφῆς — ἑνός] G. et Curt; om. M. — 12. αὐτῇ] id est τῇ βάσει, ut constructio requirit. Vulgo perperam αὐτῆς ἐπιτεθείσης. Codd. G. αὐτοῦ. Aurispa e suo codice vertit *ipsi.* Eodem fere modo Sextus Empir. advers. Mathem. p. 427 ed. Fabr. τοῖς τρισὶ σημείοις ἐπιτεθέντος ἄλλου ἄνωθεν σημείου. Confer eundum adv. Logic. p. 390 et p. 333. — 12. κριτικαὶ δυν. τέσσαρες] Haec ex Aristotelis de anima libr. 1 c. 2 et III, 4 mutuatus videtur Hierocles. Cf. Proclum in Platonis Timaeum p. 76 et 77 uberius iisdem de rebus disserentem. Caeterum δὲ post κριτικαὶ om. S. — 13. καὶ] G. et Curt; om. M. — 14. ἢ νῷ] M. et Curt; ἢ om. GS. — 15. ἀνεδήσατο] M. et Curt; ἀνεδύσατο G. — 16. στοιχείων ἀριθμόν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν] Emend. Luc. Holstenius in Observ. ad Porphyr. de vit. Pythag. p. 13. Rem illustrat Theon Smyrnaeus cap. περὶ τετρακτύος καὶ τετράδος his verbis: ἑβδόμη δὲ τετρακτὺς ἡ τῶν κοινωνιῶν ἀρχὴ μὲν καὶ οἷον μονὰς ἄνθρωπος, δυὰς δὲ οἶκος, τριὰς δὲ κώμη, τετρὰς δὲ πόλις. τὸ γὰρ ἔθνος ἐκ τούτων σύγκειται. Vulg. στοιχείων, ἀριθμῶν, — ἡλικιῶν, συνοικισμῶν (συνοικισμὸν Med. S).



Digitized by Google Original from CORNELL UNIVERSITY

pag. 170. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὃ μὴ τῆς τετρακτύος, ὡς ῥίζης καὶ ἀρχῆς, ἤρτηται. Ἔστι γάρ, ὡς ἔφαμεν, δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς, θεὸς νοητός, αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ θεοῦ. Παραδέδοται δὲ ἡ τούτου γνῶσις τοῖς Πυθαγορείοις δι' αὐτοῦ τοῦ Πυθαγόρου, δν καὶ νῦν ἐπόμνυται ὁ τῶν Ἐπῶν τούτων συγγραφεύς, ὅτι τῆς ἀρετῆς ἡ τελείωσις πρὸς τὴν τῆς ἀληθείας ἔλλαμψιν ἡμᾶς ἀνάξει. Ὥστε καὶ κατὰ τοῦτο εἴποι ἄν τις ἰδίᾳ μὲν τηρεῖσθαι τὸ Σέβου ὅρκον ἐπὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων θεῶν· ἰδίᾳ δὲ νῦν ὄμνυσθαι κατὰ τοῦ παραδόντος ἡμῖν τὴν τετρακτὺν διδασκάλου, ὅς οὐκ ἦν τῶν ἀθανάτων θεῶν, οὐδὲ τῶν φύσει ἡρώων, ἀλλ' ἄνθρωπος ὁμοιώσει θεοῦ κοσμηθείς, καὶ πρὸς τοὺς ἀφ' ἑαυτοῦ θείαν ἀποσώζων εἰκόνα. Ὅθεν καὶ ἔνορκον αὐτὸν ἐπὶ τῶν οὕτω μεγάλων ποιεῖται, λεληθότως ἐπεμβάλλων τὸ περὶ Πυθαγόραν τῶν ἀκροατῶν σέβας, καὶ τὴν ἀξίαν αὐτοῦ δεικνὺς δι' ὧν παραδέδωκε μαθημάτων. Μέγιστον δὲ τούτων ἡ τῆς δημιουργικῆς τετρα-

1. ὡς ῥίζης καὶ ἀρχῆς] Vide Pythagorae verba supra allata ex Jamblicho in Adnotatione ad p. 166. — 2. δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς] Non aliter supra; addit vero hic θεὸς νοητός κ. τ. λ. quibus conclusio continetur eorum quae de numeris et Deo τῶν ἀριθμῶν πρώτῳ disputata sunt. Haec autem τετράς, quam τὴν αὐτὴν τῷ δημιουργῷ esse vult, sub sensum non cadit, sed est θεὸς νοητὸς atque αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ θεοῦ h. e. τοῦ κόσμου, quem θεὸν γεννατὸν nominat Timaeus. Ita ipse Plato Tim. fin. p. 92 ed. Steph. θνητὰ γὰρ καὶ ἀθάνατα ζῶα λαβὼν καὶ ξυμπληρωθεὶς ὅδε ὁ κόσμος οὕτω ζῷον ὁρατὸν τὰ ὁρατὰ περιέχον εἰκὼν τοῦ νοητοῦ θεὸς αἰσθητός, μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε, μονογενὴς ὤν. — 3. καὶ] G. et Curt; om. MS. — 4. παραδέδοται] M. et Curt; παραδίδοται G. — 4. τούτου γνῶσις] M. et A: ***cujus cognitio Pythagoreis ab ipso Pythagora tradita est.*** Refertur autem τούτου ad θεὸν νοητόν. Vulg. τούτων γνῶσις. — 4. Πυθαγορείοις] v; Πυθαγορίοις S. — 5. ἐπόμνυται] Codd. M. Vindob. R. et A: ***per quem nunc juret horum versuum auctor.*** Vulgo ἑπόμενος, quod quum non intelligeret Curterius, post συγγραφεύς posuit φησιν. — 7. ἔλλαμψιν] G. et Curt; ἔλαμψιν M. — 7. ὥστε καὶ κατὰ] Curt. et G; καὶ om. S; ὡσανεὶ M. 1. 2. — 8. ἀεὶ ὡσαύτως ἐχόντων θ.] Ita recte omisso καὶ edidit Ashtonus pro vulg. ἀεὶ καὶ ὡσαύτως ἐχόντων quod est etiam in S. Cf. supra pag. 26. Simplicius in Epictet. p. 226 ed. Salmas. ἀεὶ ὡσαύτως ἔχει. Jamblich. de myster. p. 5 θεοὶ τὸ εἶναι ἀεὶ ὡσαύτως ἔχουσιν. — 10. τὴν τετρακτὺν] Curt. et G; τὴν om. M. qui praeterea habet τετρακτύος τιμήν ut Ch. — 11. οὐδὲ] Curt. et G; ἀλλ' οὐδὲ MS. — 12. ἀφ' ἑαυτοῦ] v; ἐφ ἑ. V. M. — 13. ἔνορκον] Curt. et G; ἄνορκον M. — 14. τῶν ἀκροατῶν] Curt. et G; τὸν ἀκροατὴν M.

Digitized by Google Original from CORNELL UNIVERSITY

κτύος γνῶσις. Ἀλλ' ἐπεὶ τὰ μὲν πρῶτα ἐπιτέτμηται, τὰ δὲ δεύτερα ἐν ὑποσχέσει κεῖται βεβαίᾳ καὶ ἀψευδεῖ ἐλπίδι, ὅ τε τῆς τετρακτύος ἱεροφάντης ἔγνωσται, καί τίς αὕτη ἡ τετρακτύς, ὅσον τοῖς παροῦσι προσήκει λόγοις, ὑπομνήσεως ἔτυχε· φέρε καὶ ἐφ' ἃ προελθεῖν ὁ λόγος παρακαλεῖ μετίωμεν· πρῶτον μὲν μεθ' οἵας ὁρμῆς καὶ παρασκευῆς, καὶ συνεργείας τῶν Κρειττόνων, ἐλθεῖν ἐπὶ ταῦτα προσήκει προϋποδείξαντες.

## XXI. 48—49.

— — — ἀλλ' ἔρχευ ἐπ' ἔργον,
θεοῖσιν ἐπευξάμενος τελέσαι. — — —

Πάντα τὰ πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν συντελοῦντα διὰ βραχέων ὑπέγραψεν ὁ λόγος, τὸ τῆς ψυχῆς αὐτοκίνητον καὶ pag. 172.
τὴν τοῦ θεοῦ συνέργειαν. Εἰ γὰρ καὶ ἐφ' ἡμῖν ἡ αἵρεσις τῶν

1. τὰ πρῶτα ἐπιτέτμηται —] (M. et Curt; ἐπιτετίμηται GMh.) i. e. τὰ πρῶτα ἔπη ad virtutes actuosas spectantia ab initio carminis usque ad versum 45, in qua parte declaranda μετρίαν σύνοψιν Πυθαγορείων δογμάτων, ut ipse ait in epilogo, exhibuit. Caeterum τὰ δεύτερα dicit contemplativa, quae jurejurando interposito promittuntur vers. 46. Est autem ὁ τῆς τετρακτύος ἱεροφάντης Pythagoras, cujus nomen Pythagorei reticebant, ἐκεῖνον τὸν ἄνδρα et τὸν θεῖον vocantes, haud secus atque vulgo quicunque mysteriis initiati erant hierophantae nomen edere nefas putabant. Jamblichus vit. Pythag. p. 205 ed. Kust. μηδένα τῶν Πυθαγορείων ὀνομάζειν τὸν Πυθαγόραν, ἀλλὰ ζῶντα μέν, ὁπότε βούλοιντο δηλῶσαι, καλεῖν αὐτὸν θεῖον, ἐπεὶ δὲ ἐτελεύτησεν, ἐκεῖνον τὸν ἄνδρα. Similiter carminis scriptor Pythagoram omisso nomine sola jurisjurandi formula designat. Jamblichus ibid. p. 127 τοὺς Πυθαγορικοὺς αἰδῶ ποιουμένους ὀνομάζειν Πυθαγόραν, διὰ τῆς εὑρέσεως τῆς τετρακτύος δηλοῦν τὸν ἄνδρα, Ναὶ μὰ τὸν κ. τ. λ. — 2. κεῖται βεβαίᾳ καὶ ἀψευδεῖ ἐλπίδι, ὅ τε τῆς τετρακτύος ἱεροφάντης ἔγνωσται, καὶ τίς αὕτη] SVMh. Vulg. κεῖται βέβαια καὶ ἀψευδεῖ ἐλπίδι τῆς τετρακτύος ἱεροφάντις ἔγνωσται καί τις. Codd. G. et M nihil variant nisi quod ἱεροφάντης praebent. Med. etiam male ἔγνωται. A. legit βεβαίᾳ, caetera perperam interpretatur: ***at quum prima pars explicata sit, secunda vero certa in exspectatione maneat, et spem quae per quaternarium promittitur veracem esse interpres rerum divinarum ostendit.*** Dacerius male conj. ἱερὰ φάτις; B. τῆς τε τετρακτύος. — 5. παρακαλεῖ] M 1. 2. S; vulgo παρακελεύει. — 5. πρῶτον μὲν μεθ' οἵας — προϋποδείξαντες] Cod. Med; omisso μὲν Needh. e Codd. Gall. Curterius edidit πρῶτον, μεθ' οἵας — ὑποδείξαντες, ut est in S. Ashtonus conjecit πρῶτον μὲν, μεθ' οἵας — ὑποδείξαντες. Pro ἐπὶ ταῦτα quod legitur in Codd. G. et apud Curterium, Med. ἐπὶ ταύτην. — 6. συνεργείας] v; συνεργίας S. — 7. ταῦτα προσήκει] v; ταύτης πρ. καὶ S. — 10. θεοῖσιν] M. et Curt; θεοῖς G. — 12. καὶ] M. et Curt; om. GS. — 13. ἡ] G; vulg. om.



Digitized by Google
Original from
CORNELL UNIVERSITY

# HIEROCLIS

IN

# AUREUM PYTHAGOREORUM

# CARMEN COMMENTARIUS.

RECENSUIT ET ILLUSTRAVIT

FRID. GUIL. AUG. MULLACHIUS.

BEROLINI

IN LIBRARIA FERD. GEELHAAR (ANTEA ENSLIN)

MDCCCLIII.

Digitized by Google

Original from
CORNELL UNIVERSITY